*Electra and her husband discuss the arrival of strangers*

| | |
|---|---|
| Αὐτουργός: | ἔα· τίνας τούσδ’ ἐν πύλαις ὁρῶ ξένους; |
| | τίνος δ’ ἕκατι τάσδ’ ἐπ’ ἀγραύλους πύλας |
| | προσῆλθον; ἦ ’μοῦ δεόμενοι; γυναικί τοι |
| | αἰσχρὸν μετ’ ἀνδρῶν ἑστάναι νεανιῶν. |
| Ἠλέκτρα: | ὦ φίλτατ’, εἰς ὕποπτα μὴ μόλῃς ἐμοί· |
| | τὸν ὄντα δ’ εἴσῃ μῦθον· οἵδε γὰρ ξένοι |
| | ἥκουσ’ Ὀρέστου πρός με κήρυκες λόγων. |
| | ἀλλ’, ὦ ξένοι, σύγγνωτε τοῖς εἰρημένοις. |
| Αὐτουργός: | τί φασίν; ἁνὴρ ἔστι καὶ λεύσσει φάος; |
| Ἠλέκτρα: | ἔστιν λόγῳ γοῦν, φασὶ δ’ οὐκ ἄπιστ’ ἐμοί. |
| Αὐτουργός: | ἦ καί τι πατρὸς σῶν τε μέμνηται κακῶν; |
| Ἠλέκτρα: | ἐν ἐλπίσιν ταῦτ’· ἀσθενὴς φεύγων ἀνήρ. |
| Αὐτουργός: | ἦλθον δ’ Ὀρέστου τίν’ ἀγορεύοντες λόγον; |
| Ἠλέκτρα: | σκοποὺς ἔπεμψε τούσδε τῶν ἐμῶν κακῶν. |
| Αὐτουργός: | οὐκοῦν τὰ μὲν λεύσσουσι, τὰ δὲ σύ που λέγεις. |
| Ἠλέκτρα: | ἴσασιν, οὐδὲν τῶνδ’ ἔχουσιν ἐνδεές. |
| Αὐτουργός: | οὐκοῦν πάλαι χρῆν τοῖσδ’ ἀνεπτύχθαι πύλας; |

Euripides Electra 341-357
1A 1 2002